ὅπως μίασμα πᾶν ὑπεκφύγῃ πόλις·
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τἀν Ἅιδου σέβειν.

στροφή.

ΧΟ. Ἔρως ἀνίκατε μάχαν,
Ἔρως, ὃς ἐν βλέμμασιν ἵζεις,

χθονὸς ὅσσον ἀείρων. O. C. 1191. τοσοῦτον ὅσον δοκεῖν. Arist. Vesp. 1288. ὅσον δὲ μόνον εἰδέναι —. Lys. 732. ὅσον διαπετάσασ' ἐπὶ τῆς κλίνης μένον (τὰ ἔρια). Dindorfius locum sic restituerit, ὡς [ὅσον?] ἄγος φεύγειν μόνον | προθεὶς, ὅπως μίασμ' ὑπεκφύγῃ πόλις. Nescio an recte. Commode abesse potest πᾶσα. Qu. ὅσον ἄγος φεύγειν προθείς. Cf. 256. ἄγος φεύγοντος ὥς. μόνον mss. Nauckio suspectum. φεύγειν Hart. conj. Dind. Cf. 256. λεπτὴ δ' ἄγος φεύγοντες ὣς ἐπῆν κόνις. Aesch. Suppl. 375. ἄγος φυλάσσου. Μόνον venit fortasse a v. 777.

776. πᾶς mss. Lege πᾶν. Idem suadet Herwerden.

781. μάχαν] An μάχᾳ (μάχαι)?

782. ἐν κτήμασι πίπτεις mss. (I. e. aggrederis. Anglice assailest.) ἐν δώμασι πίπτεις Heims. Mein. (coll. Aesch. Ag. 1468. δαῖμον, ὃς ἐμπίτνεις δώμασι —.) ἐν στήθεσι πίπτεις Herw. ἐν βλέμμασι πίπτεις Seyffert. (Sed βλέμμα vultus significat, non oculus.) ἐν δέργμασιν ἵζεις Pallis. Qu. ἔν τ' ὄμμασιν ἵζεις κἀν ταῖς μαλακαῖς —. Aut ὄσσοισιν ἐνίζεις (coll. 1231. Tr. 999.) Aut εἰς ὄμματ' ἐνίζεις (coll. 1000. ἐς παλαιὸν θᾶκον — ἵζων). Cf. 795. νικᾷ δ' ἐναργὴς βλεφάρων ἵμερος εὐλέκτρου νύμφας. Eur. Hipp. 525. Ἔρως, ὃς ἀπ' ὀμμάτων στάζεις πόθον, εἰσάγων γλυκεῖαν ψυχαῖς χάριν οὓς ἐπιστρατεύσῃ. Hom. Il. 10, 26. οὐδὲ γὰρ αὐτῷ | ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε. Plat. Conv. 196 B. οὗ δ' ἂν εὐανθής τε καὶ εὐώδης τόπος ᾖ, ἐνταῦθα καὶ ἵζει (καθίζει?) καὶ μένει (Ἔρως). 196 B. ἀνανθεῖ — οὐκ ἐνίζει Ἔρως. Pind. N. 8, 1. ὥρα πότνια, — ἅτε παρθενίοισι παίδων τ' ἐφίζοισα βλεφάροις —. Mosch. 2, 3. ὕπνος — βλεφάροισιν ἐφίζων. 1, 17. ἐπὶ σπλάγχνοις δὲ κάθηται (Ἔρως). Omnibus notus est poetae nostri Gay versus, 'Love in her eyes sits playing.' Si sincera est lectio πίπτεις, cf. O. C. 942. οὐδείς ποτ' αὐτοῖς — ἂν ἐμπέσοι ζῆλος. Ph. 965. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις. Aesch. Ag. 341. ἔρως δὲ μή τις πρότερον ἐμπίπτοι στρατῷ. Eur. Iph. A. 808. δεινὸς ἐμπέπτωκ' ἔρως | τῆσδε στρατείας.